www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΟΣΙΟΜΑΡΤΥΡΑ
# ΤΟΥ ΧΡΙΣΤΟΥ
# ΕΦΡΑΙΜ ΤΟΝ ΕΚ ΤΡΙΚΚΗΣ
# & ΕΝ Τῼ ΟΡΕΙ ΤΩΝ ΑΜΩΜΩΝ
# ΑΣΚΗΣΑΝΤΑ & ΑΘΛΗΣΑΝΤΑ

**(οὗ ἡ μνήμη τῇ 5η Μαΐου)**

**Ἐποιήθη**
**ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**

*** ͵βιε΄ * 2015 ***

www.tezaurliturgic.ro





# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΟΣΙΟΜΑΡΤΥΡΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΦΡΑΙΜ ΤΟΝ ΕΚ ΤΡΙΚΚΗΣ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τῆς φιλαγίου Τρίκκης γόνος ὑπάρχων,
ὄρους Ἀμώμων ἀσκητὴς θεοφόρος,
καὶ ἀθλητὴς χριστόψυχος Ἐφραὶμ θαυματουργέ,
σκέπε ταῖς πρεσβείαις σου,
τὴν γεννήσασαν πόλιν,
καὶ τοὺς σὲ γεραίροντας,
ἀπὸ πάσης ἀνάγκης,
ὅπως τιμῶμεν πάντες ἐκ ψυχῆς,
σὴν θείαν μνήμην,
Χριστὸν μεγαλύνοντες.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*«Ὁμοπατρίων μνήσθητι, Ἐφραὶμ Τρικκαῖε. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Ὁμόπατρι πάτερ Ἐφραὶμ κλεινέ,
τῆς σὲ γεννησάσης,
Τρίκκης μνήσθητι σαῖς εὐχαῖς,
καὶ πάντων Τρικκαίων χριστωνύμων,

τῶν αἰτημάτων τὴν πλήρωσιν χάρισαι.

Μεγάλως ἠγάπησας τὸν Χριστόν,
διὸ τῆς πατρίδος,
ἐμακρύνθης πάτερ Ἐφραίμ,
καὶ ἦρας ἐν ὄρει τῶν Ἀμώμων,
ἐν προθυμίᾳ σταυρὸν τῆς ἀσκήσεως.
Οὐδόλως ὑπέκυψας τῆς σαρκός,
ταῖς ἐπιθυμίαις,
τῷ Κυρίῳ συσταυρωθείς,
διὸ καὶ ἡμῶν σαρκὸς τὰ πάθη,
πάτερ Ἐφραὶμ ἐγειρόμενα κοίμησον.

*Θεοτοκίον*

Προσῆλθεν ὡς πρόβατον σῇ Μονῇ,
ἐν ὄρει Ἀμώμων,
Θεοτόκε σεπτὸς Ἐφραίμ,
ἐν ᾗπερ μεγάλως ἐδοξάσθη,
ὡς ἀγαπήσας Υἱόν σου τὸν φίλτατον.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἀφειδήσας σωφρόνως,
τῶν ἡδονῶν  Ὅσιε,
ὡς εὑρὼν ἀγάπην Κυρίου,
τὴν ὑπερήδιστον,
ἣν πᾶσι δώρησαι,
Ἐφραὶμ τοῖς πόθῳ καρδίας,
γεραιρόντων μνήμην σου,
τὴν παγχαρμόσυνον.

Τρίκκην φίλην ἀφήσας,
ἐπιποθῶν ἄριστα,
τὴν ἐν οὐρανοῖς τῶν Ἁγίων,
Πατρίδα Ὅσιε,
διδάσκων ἅπασι,
ταύτην ποθεῖν καὶ διώκειν,
ὡς μόνην ἀσάλευτον καὶ ἀδιάσειστον.

Ῥύπον πάντα ἐκπλύνας,
τῆς σῆς ψυχῆς δάκρυσιν,
ὅσιε Ἐφραὶμ ὀφθαλμούς σου,
τοὺς ἔσω ἤνοιξας,
καὶ φῶς τὸ ἔκλαμπρον,
Χριστοῦ κατέβλεψας ὅθεν,
καὶ ἡμᾶς ἀξίωσον, τοῦτο θεάσασθαι.

*Θεοτοκίον*

Ἰατρὸν ἡ τεκοῦσα,
τὸν Ἰησοῦν Δέσποινα,
πάθη θεραπεύοντα πάντα,
τῆς ἀνθρωπότητος,
Τοῦτον ἱκέτευε,
ὅπως ἰάσηται πάντας,
τούς σε μεγαλύνοντας,
ὡς Θεομήτορα.

Διάσωσον,
πάτερ Ἐφραὶμ θεοφόρε τὴν σὴν πατρίδα,
καὶ χριστωνύμους Τρικκαίους πρεσβείαις σου,
ἀπὸ κινδύνων χαλεπῶν,
καὶ παντοίων δεινῶν συμπτωμάτων.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Ἀσκήσας καλῶς,
Ἐφραὶμ καλῶς καὶ ἤθλησας,
τὸ στέφος διπλοῦν, λαβὼν ἐκ τοῦ Κυρίου σου,
Ὃν ἀπαύστως ἱκέτευε ἅγιε,
ὑπὲρ τιμώντων σου θερμῶς,
τὴν μνήμην τὴν θείαν καὶ τὴν ἄθλησιν.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Ὥσπερ πλῆθος ὑπέμεινας,
πειρασμῶν θεόφρον Ἐφραὶμ ἐπίστασαι,
τὸ δαιμόνων ἀφιλάνθρωπον,
ἐξ οὗ ῥῦσαι πάντας τοὺς τιμῶντάς σε.
Νοῦν ἡμῶν δεῖξον  Ὅσιε,
οἴκημα μελέτης θείου Ὀνόματος,
δι’ Οὗ δύναμιν ληψόμεθα,
κατὰ τοῦ δολίου κοσμοκράτορος.

Μαρτυρίου μετέσχηκας,
διὰ τέκνων Ἄγαρ Ἐφραὶμ πανόσιε,
διὸ λύτρου ὡς φιλάδελφος,
τοὺς ἐν πειρασμοῖς πρὸς σὲ προστρέχοντας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον*

Νικητὰς δεῖξον Πάναγνε,
πάντας χριστωνύμους σὲ μεγαλύνοντας,
τοὺς τοῦ βίου διαπλέοντας,
πέλαγος μεγάλως κυματούμενον.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἤθλησας Ἐφραίμ,
ἐν ἀγῶσι τῆς ἀσκήσεως,
ὑπομονὴν δεικνὺς ἰσόβιον,
ἥνπερ ὡς δῶρον,
τοῖς θερμῶς γεραίρουσί σε χάρισαι.

Σώματος ὁρμὰς,
καθυπέταξας τῷ πνεύματι,
πάτερ Ἐφραὶμ σοφοῖς τεχνάσμασιν,
ἅπερ αἰτοῦμεν,
μυστικῶς ἡμῖν ἐκδίδαξον.

Θῦμα ἱερόν,
τῆς Χριστοῦ ἀγάπης γέγονας,
καὶ νῦν εὐφραίνῃ ἀγαλλόμενος,
ἧς εὐφροσύνης,
καὶ ἡμᾶς Ἐφραὶμ ἀξίωσον.

*Θεοτοκίον*

Ἡ σεπτὴ Μονή,
σοῦ Παρθένε ἀναδέδεικται,
στάδιον θεῖον ἀρετῶν σεπτῷ Ἐφραίμ,

ὃν μετ᾽ ἀμώμων,
τῆς χορείας συνηρίθμησας.

*Ὠιδὴ Ϛ΄. Τὴν δέησιν.*

Τρικκαίων σε,
εὐλαβῶν ὁμήγυρις,
ἀνυμνεῖ καὶ μακαρίζει ἐν ὕμνοις,
ὅτι Ἐφραίμ,
ὡς οἰκεῖον πλουτεῖ σε,
εἰς πρωτοτόκων Σιὼν τὴν ἀσάλευτον,
δεόμενον διὰ παντός,
τοῦ γλυκέος Χριστοῦ δι᾽ Ὃν ἤθλησας.

Ἱκέτευε,
τῷ Χριστῷ πανόσιε,
τὴν εἰρήνην παρασχεῖν οἰκουμένῃ,
καὶ ἀσεβῶν,
τὴν ὀφρὺν ταπεινῶσαι,
κατὰ πιστῶν αὐθαδῶς στασιάζουσαν,
οἷς χάρισαι ὑπομονήν,
θεῖε πάτερ Ἐφραὶμ ὡς φιλάδελφος.

Ἐνώτισαι,
ἀσθενούντων ὅσιε,
παρακλήσεις ἀπὸ κλίνης ὀδύνης,
καὶ θαυμαστῶς,
τὴν ὑγίειαν παράσχου,
ταῖς πρὸς Δεσπότην θερμαῖς ἱκεσίαις σου,
ὅπως δοξάζωσιν Ἐφραίμ,
τὸν σὲ στέφει λαμπρῷ καταστέψαντα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον*

Φιλάνθρωπον,
τετοκυῖα Κύριον,
ἐξ αἱμάτων σου Ἁγνὴ Θεοτόκε,
καὶ ὡς πολλήν,
παῤῥησίαν πλουτοῦσα,
ὑπὲρ ἡμῶν τῶν ἀθλίων ἱκέτευε,
ὅπως τὸ Πρόσωπον Αὐτοῦ,
μηδαμῶς ἀποστρέψῃ τὸ πάμφωτον.

Διάσωσον,
πάτερ Ἐφραὶμ θεοφόρε τὴν σὴν πατρίδα,
καὶ χριστωνύμους Τρικκαίους πρεσβείαις σου,
ἀπὸ κινδύνων χαλεπῶν,
καὶ παντοίων δεινῶν συμπτωμάτων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ἱερώτατον Τρίκκης ἀγλάϊσμα,
καὶ πιστῶν ἀσφαλὲς καταφύγιον,
μὴ παρίδῃς,
τῶν δεομένων σου φωνὰς πάτερ Ἐφραίμ,
ἀλλὰ πρόσδεξαι αὐτάς,
καὶ τῷ Δεσπότῃ Ἰησοῦ,
παῤῥησίᾳ προσάγαγε,
ὅπως ταύτας πληρώσῃ,
χάριν διδοὺς ἑκάστῳ,

κατὰ τὸ αἴτημα αὐτοῦ,
καθὼς οἶδεν ὁ Εὔσπλαγχνος.

*Καὶ εὐθὺς τὸ Προκείμενον.*

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

**Εὐαγγέλιον**
*Ἐκ τοῦ κατὰ Λουκᾶν* (κα΄ 12-19).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ’ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ Ὁσιάθλου, πρεσβείαις Ἐλεῆμον,

ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

*Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Πλήθεσι βαρούμενοι,
βιοτικῶν μελημάτων,
καὶ καταβαλλόμενοι,
πρὸς σὲ καταφεύγομεν, Ἐφραὶμ ἅγιε·
ὕψωσον δεόμεθα, τὰς σεπτάς σου χεῖρας,
καὶ Δεσπότην καθικέτευε,
δι' Ὃν ἐνήθλησας,
καὶ Αὐτὸν γενναίως ἐδόξασας,
ὅπως παράσχῃ τάχιστα,
ἄνωθεν ἡμῖν τὴν ἀντίληψιν,
καὶ τὰς ἀσθενείας,
ἰάσηται ὡς θεῖος ἰατρός,
καὶ εὐγνωμόνως προσδέξηται,
τὰ εὐχαριστήρια.

*Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ῥῦσαι πάσης ἀνάγκης,
καὶ κινδύνων παντοίων Ἐφραὶμ τοὺς ὅσοι σου,

τὰς προσευχὰς αἰτοῦσι,
καὶ πίστει ἀνυμνοῦσι,
τὸν σὲ ἅγιον δείξαντα,
Ὃν ἀεὶ ἐκτενῶς,
ὑπὲρ ἡμῶν δυσώπει.

Ἀσθενοῦντας παμμάκαρ,
καὶ ἐν κλίνῃ κειμένους ταχὺ ἀνόρθωσον,
Ἐφραὶμ ταῖς προσευχαῖς σου,
καὶ χάρισαι εἰρήνην,
τοῦ Χριστοῦ τὴν ἀσάλευτον,
ταῖς τῶν τιμώντων θερμῶς,
οἰκίαις ἱκετῶν σου.

Ἴσος πέλων Ἁγίοις,
τοῖς ἀρχαίοις ὦ πάτερ Ἐφραὶμ τοῖς ἄθλοις σου,
διὸ καὶ ἴσην χάριν,
εἴληφας ἐκ Κυρίου,
θεραπεύειν νοσήματα,
τῶν εὐλαβῶς τὴν σεπτήν,
τιμώντων ἄθλησίν σου.

Θεοτοκίον

Μεγαλύνομεν πάντες,
ὥσπερ ἔφης Παρθένε τὰ μεγαλεῖά σου,
καὶ ἱκετεύομέν σε,
σκέπασον τῇ σῇ σκέπῃ,
καὶ ταχὺ ἐλευθέρωσον,
ἐκ τῶν σφοδρῶν πειρασμῶν,
ἡμᾶς πολεμουμένους.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

Τρίκκην πατρίδα,
ἐστολισμένην Ληθαίῳ,
σὺ δροσίζεις Ἐφραὶμ ταῖς προσευχαῖς σου,
καὶ Χριστῷ προσάγεις,
συμπολιτῶν αἰτήσεις.

Ῥῶσιν παράσχου,
τοῖς ἀσθενοῦσι καρκίνῳ,
τοῦτον πάτερ Ἐφραὶμ ἐξαφανίζων,
καὶ χαρὰν παρέχων,
παντοίως λυπουμένοις.

Ἱερομάρτυς,
ἐδείχθης μέγας τρισμάκαρ,
διὸ χάριν ἐδέξω ὡς βραβεῖον,
τῆς θαυματουργίας,
Ἐφραὶμ παρὰ Κυρίου.

*Θεοτοκίον*

Κεκακωμένους,
ἐξ ἁμαρτίας Παρθένε,
διανάστησον θείαις μεσιτείαις,
πρὸς τὸν σταυρωθέντα,
φιλάνθρωπον Υἱόν σου.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Κοσμήσας τὴν Τρικκαίων,
πάτερ Ἐκκλησίαν,

ταύτης μεσίτης ἀκοίμητος φάνηθι,
τῷ φιλανθρώπῳ Κυρίῳ,
Ἐφραὶμ πανόλβιε.

Ἅγιε Βησσαρίων,
σὺν Οἰκουμενίῳ,
Κοσμᾶ καὶ πάντες τῆς Τρίκκης οἱ Ἅγιοι,
ἅμα Ἐφραὶμ τῷ Δεσπότῃ,
Χριστῷ πρεσβεύσατε.

Ἱλάσθητι Σωτήρ μου,
σῇ πολλῇ ἀγάπῃ,
καὶ τῶν πταισμάτων παράσχου τὴν ἄφεσιν,
τῶν ἀνυμνούντων ἐκ πόθου,
χορὸν Ἁγίων σου.

Εὐφραίνου ἐν Κυρίῳ,
πόλις τῶν Τρικάλων,
ὡς πρεσβευτὰς πρὸς τὸν Κύριον ἔχουσα,
Ἁγίων ἄθροισμα θεῖον,
φυὲν ἐκ κόλπων σου.

*Θεοτοκίον*

Ἄμωμε Παναγία,
σὺν Ἐφραὶμ τῷ θείῳ,
Ἀμώμων ὄρει καλῶς ἐναθλήσαντι,
σκέπετε πόλιν τῆς Τρίκκης,
ὑμᾶς δοξάζουσαν.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

## *Μεγαλυνάρια*

Ἐκ τῶν κόλπων Τρίκκης πάτερ Ἐφραίμ,
ἔφυς θεῖος κλάδος,
καὶ Ἀμώμων ὄρει σεπτῶς,
ζήσας ἐν ἀσκήσει,
καὶ διὰ μαρτυρίου,
τὸ στέφος ἀνεδήσω,
Ὁσιομάρτυρος.

Χαίρει πόλις Τρίκκης ὑπερφυῶς,
ἔχουσα σὺν ἄλλοις,
πρέσβυν μέγαν πρὸς τὸν Θεόν,
τὸν Ἐφραὶμ τὸν θεῖον,
ἐκβλύζοντας πλουσίως,
τὰ ῥεῖθρα τῶν θαυμάτων,
καὶ τῶν ἰάσεων.

Πρέσβευε Κυρίῳ, πάτερ Ἐφραίμ,
ὑπὲρ τῶν τιμώντων,
τὴν σεπτήν σου μνήμην θερμῶς,
καὶ ἐξαιτουμένων,
σὴν θείαν μεσιτείαν,

ὅπως τὸν δρόμον βίου,
καλῶς τελέσωμεν.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*καὶ τὰ τροπάρια*

᾿Ελέησον ἡμᾶς,
Κύριε ἐλέησον ἡμᾶς.
Πάσης γὰρ ἀπολογίας ἀποροῦντες,
ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ
οἱ ἁμαρτωλοὶ προσφέρομεν·
ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν.
Μὴ ὀργισθῇς ἡμῖν σφόδρα,
μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·
ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος
καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.
Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου·
πάντες ἔργα χειρῶν σου
καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,
εὐλογημένη Θεοτόκε.
Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν·
ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων.
Σὺ γὰρ εἶ ἡ σωτηρία,
τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

*Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.*

Ὥσπερ ὁ Εὐφράτης ποταμός,
τοὺς ἀρδευομένους πλουτίζει,
ἐν τῇ πορείᾳ αύτοῦ,
οὕτως ἐν τοῖς θαύμασι,
σὺ θεῖε πάτερ Ἐφραίμ,
νόσους πάσας τοῦ σώματος,
καὶ ψυχῆς διώκεις,
πάντων τῶν αἰτούντων σου,
τὰς πρὸς Θεὸν προσευχάς.
Ὅθεν τοῖς τιμῶσι Τρικκαίοις,
ὡς ὁμοπατρίοις  σοι δίδου,
πάντων αἰτημάτων λύσιν τάχιστα.

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,

εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου,
φύλαττε, εὐλογημένη Θεοτόκε,
ἵνα σε δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων,
καὶ τῆς Θεοτόκου,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
καὶ ἐλέησον ἡμᾶς,
ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

*Στίχοι*

*Ἐφραίμ, παράσχου τὴν λύσιν αἰτημάτων,*
*Τῶν εὐλαβῶς τιμώντων σε ἐκ καρδίας.*


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ